καὶ ναοῦ καὶ βωμοῦ καὶ θυσιῶν, καὶ προσφορῶν καὶ σπονδῶν, καὶ αὐτοῦ δὲ τοῦ ψάλλειν, εἰς τὴν ἀλλοτρίαν ἐλθόντες γῆν, ἐχωρίσθησαν; οὐ γὰρ ἡ οἰκία αὐτοῖς μόνον ἄβατος ἦν, ἀλλὰ καὶ πολλὰ τῆς λατρείας ἐντεῦθεν εἴδη. οὐχὶ βαρβαρικαῖς ἐξεδόθησαν χερσὶ, καὶ λύκοις μᾶλλον ἢ ἀνθρώποις; καὶ τὸ δὴ χαλεπώτατον εἰς μακρὰν οὕτω διακειμένην, καὶ βάρβαρον ἀποικισθέντες γῆν, καὶ αἰχμαλωσίαν χαλεπωτάτην; οὐ διδάσκαλον εἶχον, οὐ προφήτην οὐκ ἄρχοντα, Οὐ γάρ ἐστί, φησιν, ἄρχων οὐδὲ προφήτης, καὶ ἡγούμενος, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. ἀλλὰ καὶ εἰς βασιλικὴν οἰκίαν, ὡς εἰς σκόπελόν τινα, καὶ κρημνὸν καὶ πέλαγος ὑφάλων γέμων καὶ σπιλάδων,

*templo, altari, ſacrificiis, oblationibus, libationib., ab ipſo quoq; pſalmorum cantu, vbi in alienam regionem venerunt, ſeparati ſunt? non enim domus eis duntaxat eam ob cauſſam inacceſſa erat, ſed multa quoque diuini cultus genera. An non barbarorũ manib. dediti ſunt, lupis potius quã hominibus, et quod eſt grauiſſimũ, in tã longè diſſitam ac barbarã abducti terram, & ſeruitutẽ grauiſſimam, nõ magiſtrum habebant, non prophetam, non principẽ;* Non enim eſt, *inquit*, princeps, neq; Propheta, neq; Dux, neq; locꝰ ſacrificandi coram te, & inueniendi miſericordiã. *Quin etiã in domũ regiã, tanq̃ in ſcopulum quendã ac præcipitium,*